λίᾳ τῇ ὀρχηστρίδι Φιλόμηλος ὁ Φωκέων τύραννος ἐδωρή-
σατο, μεταστᾶσαν αὐτὴν ἐκ τῆς Ἑλλάδος εἰς τὴν Ἰταλίαν
ἀπώλεσεν ἐν Μεταποντίῳ παίζουσαν περὶ τὸν νεὼν τοῦ
Ἀπόλλωνος· | ὁρμήσαντες γὰρ ἐπὶ τὸν στέφανον οἱ νεα- 398
νίσκοι καὶ μαχόμενοι περὶ τοῦ χρυσίου πρὸς ἀλλήλους
διέσπασαν τὴν ἄνθρωπον. Ἀριστοτέλης (fr. 130) μὲν οὖν
μόνον Ὅμηρον ἔλεγε κινούμενα ποιεῖν ὀνόματα διὰ τὴν
ἐνέργειαν, ἐγὼ δὲ φαίην ἂν καὶ τῶν ἀναθημάτων τὰ
ἐνταυθοῖ μάλιστα συγκινεῖσθαι καὶ συνεπισημαίνειν τῇ
τοῦ θεοῦ προνοίᾳ, καὶ τούτων μέρος μηδὲν εἶναι κενὸν
μηδ' ἀναίσθητον, ἀλλὰ πεπλῆσθαι πάντα θειότητος. καὶ
ὁ Βόηθος 'ναί' εἶπεν· 'οὐ γὰρ ἀρκεῖ τὸν θεὸν εἰς σῶμα
καθειργνύναι θνητὸν ἅπαξ ἑκάστου μηνός, ἀλλὰ καὶ λίθῳ
παντὶ καὶ χαλκῷ συμφυράσομεν αὐτόν, ὥσπερ οὐκ ἔχοντες
ἀξιόχρεων τῶν τοιούτων συμπτωμάτων τὴν τύχην δημιουρ- B
γὸν καὶ ταὐτόματον.' 'εἶτ'' ἔφην ἐγώ 'τύχῃ σοι δοκεῖ καὶ
αὐτομάτῳ τῶν τοιούτων ἕκαστον ἐοικέναι, καὶ πιθανόν
ἐστι τὰς ἀτόμους ἐξολισθεῖν καὶ διαχυθῆναι καὶ παρεγ-
κλῖναι μήτε πρότερον μήθ' ὕστερον, ἀλλὰ κατ' ἐκεῖνον
τὸν χρόνον, ἐν ᾧ τῶν ἀναθέντων ἕκαστος ἢ χεῖρον ἔμελλε
πράξειν ἢ βέλτιον; καὶ σὲ μὲν Ἐπίκουρος (fr. 383) ὠφε-
λεῖ νῦν ὡς ἔοικεν ἀφ' ὧν εἶπεν ἢ ἔγραψε πρὸ ἐτῶν τρια-
κοσίων· ὁ θεὸς δ', εἰ μὴ συνείρξειε φέρων ἑαυτὸν εἰς
ἅπαντα μηδ' ἀνακερασθείη πᾶσιν, οὐκ ἄν σοι δοκεῖ κινή-
σεως ἀρχὴν καὶ πάθους αἰτίαν παρασχεῖν οὐδενὶ τῶν ὄντων;' C

9. Τοιαῦτα μὲν ἐγὼ πρὸς τὸν Βόηθον ἀπεκρινάμην,
ὅμοια δὲ *** περὶ τῶν Σιβυλλείων. ἐπειδὴ γὰρ ἔστημεν
κατὰ τὴν πέτραν γενόμενοι τὴν κατὰ τὸ βουλευτήριον, ἐφ'